# 164. THE TIME THAT NO ONE KNOWS (Mk-Lk identical)

| Mark 13:28-37 | Luke 21:29-33 |
|---|---|
| | Καὶ εἶπεν παραβολὴν αὐτοῖς· |
| Ἀπὸ δὲ τῆς συκῆς | Ἴδετε τὴν συκῆν |
| | καὶ πάντα τὰ δένδρα· |
| μάθετε τὴν παραβολήν· | |
| ὅταν ἤδη ὁ κλάδος αὐτῆς | 30 ὅταν προβάλωσιν ἤδη, |
| ἁπαλὸς γένηται | |
| καὶ ἐκφύῃ τὰ φύλλα, | |
| | βλέποντες ἀφ ἑαυτῶν |
| γινώσκετε | γινώσκετε |
| ὅτι ἐγγὺς τὸ θέρος ἐστίν. | ὅτι ἤδη ἐγγὺς τὸ θέρος ἐστίν· |
| 29 οὕτως καὶ ὑμεῖς, | 31 οὕτως καὶ ὑμεῖς, |
| ὅταν ἴδητε ταῦτα γινόμενα, | ὅταν ἴδητε ταῦτα γινόμενα, |
| γινώσκετε ὅτι ἐγγύς ἐστιν | γινώσκετε ὅτι ἐγγύς ἐστιν |
| | ἡ βασιλεία τοῦ θεοῦ. |
| ἐπὶ θύραις. | |
| 30 ἀμὴν λέγω ὑμῖν ὅτι | 32 ἀμὴν λέγω ὑμῖν ὅτι |
| οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη | οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη |
| μέχρις οὗ ταῦτα πάντα γένηται. | ἕως ἂν πάντα γένηται. |
| 31 ὁ οὐρανὸς καὶ ἡ γῆ | 33 ὁ οὐρανὸς καὶ ἡ γῆ |
| παρελεύσονται, | παρελεύσονται, |
| οἱ δὲ λόγοι μου | οἱ δὲ λόγοι μου |
| οὐ μὴ παρελεύσονται. | οὐ μὴ παρελεύσονται. |
| 32 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης | |
| ἢ τῆς ὥρας οὐδεὶς οἶδεν, | |
| οὐδὲ οἱ ἄγγελοι ἐν οὐρανῷ | |
| οὐδὲ ὁ υἱός, | |
| εἰ μὴ ὁ πατήρ. | |

33 βλέπετε ἀγρυπνεῖτε· οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν.

34 ὡς ἄνθρωπος ἀπόδημος ἀφεὶς τὴν οἰκίαν αὐτοῦ καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν, ἑκάστῳ τὸ ἔργον αὐτοῦ, καὶ τῷ θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ.

35 γρηγορεῖτε οὖν,

*οὐκ οἴδατε γὰρ πότε*

*ὁ κύριος τῆς οἰκίας ἔρχεται,*

*ἢ ὀψὲ ἢ μεσονύκτιον ἢ*
*ἀλεκτοροφωνίας ἢ πρωΐ,*

*36 μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς*
*καθεύδοντας.*

*37 ὃ δὲ ὑμῖν λέγω, πᾶσιν λέγω,*
*γρηγορεῖτε.*

84 matches out of 214 words = 24%